Apparatus:
6 r. προκειμένον
7 the first ε of ἔσχεν corr. from σ
8 the ο of ὅθεν from τ, the θ from τ
9 r. ἀμέλειά
11 r. ἔτει; ἐπακολουθεῖ
14 r. ἀμελείας
15 r. ἔχειν
19 r. ἀξιωθήσεσθαι

Transcription:
Αἰλίῳ Ἡρακλείτῳ βοηθῷ Αἰλίου Ἐγλέκτου
ἐπιτρόπου τοῦ κυρίου Καίσαρος
π̣α̣ρὰ Πτολεμαίου Διοδώρου τοῦ καὶ Διοσκόρου
μ̣ι̣σθωτοῦ δρυμοῦ κώμης Θεαδελφείας. τῶ̣ν
σ̣υ̣νήθων ὑδάτων δεόντων κατελθεῖν
εἰς τὸν προκιμένον δρυμὸν ἕως πλήσθῃ, μέ̣χρι
νῦν οὐκ ἔσχεν, ἀλλὰ κινδυνεύει ἀποξηρανθῆ-
ν̣[α]ι, ὅθεν ἀξιῶ σε ἐπιστεῖλαι τῷ αἰγιαλοφύλακι
γ̣[ράμ]ματα {σε}, ὅτι, ἐὰν ἀμέλιά τις γένηται τῶν ὑδά-
[τ]ω̣ν καὶ μὴ πλήσθῃ καθὼς ἔθος ἐστί, οὐ μό-
[ν]ο̣ν τῷ ἑξῆς ἔτι βλάβος ἐπακολουθῖ, τοῦ γ̣ὰ̣ρ̣
δρυμοῦ μισ]θωθέντος ἀ̣λλὰ ἔτη τρί̣α ἄφορος
γίνεται]. ἀ̣ξιῶ ο̣ὖν, κύρ[ι]ε̣, φανερὸν [τ]ῷ̣ αἰγιαλοφύλα-
κι ποιῆσα]ι̣, ἵν', ἐὰν ἕνε̣[κ]α̣ ἀμελίας β̣λ̣άβος τι γένηται,
- ca. 7 letters - μ]ὲ̣ πρὸς αὐτὸ̣ν_[ἔχι]ν λόγον ἐπὶ̣ τοῦ κρατίσ-
τοῦ ἐπ]ι̣τρόπου. (ἔτους) η_ Ἁθὺρ ζ.
(2nd hand) ]. Αἴλιος Ἡρά`κ´(λειτος) Ἀ̣π̣ολλωνίῳ αἰγιαλοφύλα`κ´(ι)
τῷ] φιλτάτῳ χ[αίρει]ν̣. ο̣ὐ προσεδόκησα καὶ περὶ τ̣ο̣ῦ̣
δρυ]μ̣οῦ ἀξιω̣ἱθήσε̣σθαι, ἵνα παράσχῃ αὐτῷ
τὰ α]ὐ̣τάρκ̣η ὕδατα̣ ὡς ὁ μι̣σ̣θωτὴς αὐ̣τ̣[οῦ]
Πτολε]μαῖος ἠξίωσε̣ν. ἀκόλουθον̣ γὰρ ἦν
τῇ ἐ]π̣ιμελε̣ί̣ᾳ̣ σ̣ου [κ]α̣ὶ τούτου πρὶν ἀξ[ι]ῶ̣σ̣αί τινα
φρον]τ̣ί̣σαι. εἰ δέ τ̣[ι μ]έ̣χ[ρι] νῦν ἐμποδὼν ἐγένετο
ἢ ἄλλ]ο̣ τ̣ι̣ τῶν μᾶλλ[ό]ν σ̣ο̣ι δοκούντων ἐπείγειν, ὑπέρ-
θεσι]ν̣ τῇ πληρώ̣σει τ̣οῦ δρυμοῦ παρέσχεν ἀλλὰ
καὶ νῦν], ἀ̣δελφέ, φρ̣όντισον, ὥστε τὰ συνήθη ὕδατα
αὐτῷ] παρασχεθῆναι. ἐρρῶσθαί_σε εὔχο(μαι) φίλτατε̣.
(ἔτους)] η̣ Ἀντω(νίνου) Ἁ̣θ̣ὺρ ζ.